ἀρτιάκις περισσός. λέγω δὴ ὅτι καὶ μόνον. εἰ γὰρ ἔσται
ὁ Α καὶ ἀρτιάκις ἄρτιος· μετρηθήσεται ὑ-
πὸ ἀρτίου κατὰ ἄρτιον ἀριθμόν· ὥστε
καὶ ὁ ἥμισυς αὐτοῦ μετρηθήσεται ὑπὸ ἀρ-
τίου ἀριθμοῦ περισσὸς ὤν. ὅπερ ἐστὶν
ἄτοπον. ὁ Α ἄρα ἀρτιάκις περισσός
ἐστι μόνον. ὅπερ ἔδει δεῖξαι:-

λδ Ἐὰν ἀριθμὸς μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομέ-
νων ᾖ, μήτε τὸν ἥμισυν ἔχῃ περισσόν, ἀρτιάκις τε
ἄρτιός ἐστι καὶ ἀρτιάκις περισσός. ἀριθμὸς γὰρ
ὁ Α μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἔστω
μήτε τὸν ἥμισυν ἐχέτω περισσόν. λέγω ὅτι ὁ Α ἀρτι-
άκις ἐστὶν ἄρτιος καὶ ἀρτιάκις περισσός. ὅτι μὲν οὖν
ὁ Α ἀρτιάκις ἐστὶν ἄρτιος, φανερόν· τὸν γὰρ ἥμι-
συν οὐκ ἔχει περισσόν. λέγω δὴ ὅτι καὶ ἀρτιάκις περισ-
σός ἐστιν. ἐὰν γὰρ τὸν Α τέμνωμεν δίχα καὶ τὸν ἥμισυν
αὐτοῦ δίχα, καὶ τοῦτο ἀεὶ ποιῶμεν, καταντήσομεν εἴς τι-
να ἀριθμὸν περισσόν, ὃς μετρήσει τὸν Α κατὰ ἄρτιον
ἀριθμόν. εἰ γὰρ οὐ καταντήσομεν εἴς τινα
ἀριθμὸν περισσόν, ὃς μετρήσει τὸν Α κατὰ
ἄρτιον ἀριθμόν, καταντήσομεν εἰς δυά-
δα. καὶ ἔσται ὁ Α τῶν ἀπὸ δυάδος διπλα- 16
σιαζομένων. ὅπερ οὐχ ὑπόκειται. ὥσ-
τε ὁ Α καὶ ἀρτιάκις ἄρτιος. ὁ Α ἄρα ἀρ-
τιάκις τε ἄρτιός ἐστι καὶ ἀρτιάκις περισ-
σός. ὅπερ ἔδει δεῖξαι:-

λε Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον· ἀφαι-
ρεθῶσι δὲ ἀπὸ τοῦ δευτέρου καὶ ἐσχάτου ἴσοι τῷ πρώ-
τῳ· ἔσται ὡς ἡ τοῦ δευτέρου ὑπεροχὴ πρὸς τὸν πρῶ-
τον, οὕτως ἡ τοῦ ἐσχάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑ-
αυτοῦ πάντας. ἔστωσαν ὁποσοιδηποτοῦν ἀριθμοὶ
ἑξῆς ἀνάλογον οἱ Α ΒΓ Δ ΕΖ ἀρχόμενοι ἀπὸ ἐλα-
χίστου τοῦ Α. καὶ ἀφῃρήσθω ἀπὸ τοῦ ΒΓ καὶ τοῦ ΕΖ τῷ
Α ἴσος ἑκάτερος τῶν ΗΓ ΖΘ. λέγω ὅτι ἐστὶν ὡς ὁ ΒΗ
πρὸς τὸν Α, οὕτως ὁ ΕΘ πρὸς τοὺς Α ΒΓ Δ. κείσθω γὰρ
τῷ ΒΓ ἴσος ὁ ΖΚ, τῷ δὲ Δ ἴσος ὁ ΖΛ. καὶ ἐπεὶ ὁ ΖΚ
τῷ ΒΓ ἴσος ἐστίν, ὧν ὁ ΖΘ τῷ ΗΓ ἴσος ἐστί. λοιπὸς ἄ-
ρα ὁ ΘΚ λοιπῷ τῷ ΗΒ ἐστιν ἴσος. καὶ ἐπεί ἐστιν ὡς ὁ
ΕΖ πρὸς τὸν Δ, οὕτως ὁ Δ πρὸς τὸν ΒΓ καὶ ὁ ΒΓ πρὸς τὸν Α.
ἴσος δὲ ὁ μὲν Δ τῷ ΖΛ, ὁ δὲ ΒΓ τῷ ΖΚ, ὁ δὲ Α τῷ
ΖΘ· ἔστιν ἄρα ὡς ὁ ΕΖ πρὸς τὸν ΛΖ, οὕτως ὁ ΛΖ πρὸς
τὸν ΖΚ καὶ ὁ ΖΚ πρὸς τὸν ΖΘ. διελόντι ὡς ὁ ΕΛ πρὸς
τὸν ΛΖ, οὕτως ὁ ΛΚ πρὸς τὸν ΖΚ καὶ ὁ ΚΘ πρὸς τὸν ΖΘ.
ἔστιν ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν
ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅ-
παντας τοὺς ἑπομένους. ἔστιν ἄρα ὡς ὁ ΚΘ πρὸς τὸν
ΘΖ, οὕτως οἱ ΕΛ ΛΚ ΚΘ πρὸς τοὺς ΛΖ ΚΖ ΘΖ. ἴσος δὲ ὁ
μὲν ΚΘ τῷ ΒΗ, ὁ δὲ ΖΘ
τῷ Α, οἱ δὲ ΛΖ ΚΖ ΘΖ
τοῖς Δ ΒΓ Α. ἔστιν ἄρα
ὡς ὁ ΒΗ πρὸς τὸν Α, οὕ-
τως ὁ ΕΘ πρὸς τοὺς Δ ΒΓ Α.